τε Κρίτωνα ἀφῆκε, καὶ αὐτῷ χρήματα ἔδωκεν.
Ἐπεὶ δὲ τοῦτό τε καὶ ἄλλα τοιαῦτα ὁ Ἀρχέδημος διε- 7
πράξατο ἤδη, τότε, ὥσπερ, ὅταν νομεὺς ἀγαθὸν
κύνα ἔχῃ, καὶ οἱ ἄλλοι νομεῖς βούλονται πλησίον αὐτοῦ
τὰς ἀγέλας ἱστάναι, ἵνα τοῦ κυνὸς ἀπολαύωσιν, οὕτω
καὶ τοῦ Κρίτωνος πολλοὶ τῶν φίλων ἐδέοντο, καὶ σφίσι
παρέχειν φύλακα τὸν Ἀρχέδημον. Ὁ δὲ Ἀρχέ- 8
δημος τῷ Κρίτωνι ἡδέως ἐχαρίζετο, καὶ οὐχ ὅτι μόνος
ὁ Κρίτων ἐν ἡσυχίᾳ ἦν, ἀλλὰ καὶ οἱ φίλοι αὐτοῦ. εἰ
δέ τις αὐτῷ τούτων, οἷς ἀπήχθετο, ὀνειδίζοι, ὡς ὑπὸ
Κρίτωνος ὠφελούμενος κολακεύοι αὐτόν· Πότερον οὖν,
ἔφη ὁ Ἀρχέδημος, αἰσχρόν ἐστιν εὐεργετούμενον ὑπὸ
χρηστῶν ἀνθρώπων καὶ ἀντευεργετοῦντα, τοὺς μὲν τοι-
ούτους φίλους ποιεῖσθαι, τοῖς δὲ πονηροῖς διαφέρεσθαι·
ἢ τοὺς μὲν καλοὺς κἀγαθοὺς ἀδικεῖν πειρώμενον ἐχθροὺς
ποιεῖσθαι, τοῖς δὲ πονηροῖς συνεργοῦντα πειρᾶσθαι
φίλους ποιεῖσθαι, καὶ χρῆσθαι τούτοις ἀντ᾽ ἐκείνων;
Ἐκ δὲ τούτου εἷς τε τῶν Κρίτωνος φίλων Ἀρχέδημος
ἦν, καὶ ὑπὸ τῶν ἄλλων Κρίτωνος φίλων ἐτιμᾶτο.

potest ex Harpocratione: Ἀφεὶς καὶ ἀπαλλάξας· τὸ μὲν ἀφεὶς, ὅταν ἀπολύσῃ τίς τινα τῶν ἐγκλημάτων, ὧν ἐνεκάλει αὐτῷ· τὸ δὲ ἀπαλλάξας, ὅταν πείσῃ τὸν ἐγκαλοῦντα ἀποστῆναι, καὶ μηκέτι ἐγκαλεῖν. Ἀπαλλάττειν igitur, vel, vt h. l. ἀπαλλάττεσθαι, dicitur *accusator, qui actionem deponit et accusationem non persequitur*; ἀφιέναι idem dicitur *accusator, cum reum criminibus obiectis liberat et absoluit*: quod maius est. Interdum tamen, vt notauit Valesius p. 14, vtrumque vsurpant verbum auctores promiscue, v. c. Isocrat. in Trap. p. 716 seq. *Hindeb.*

αὐτῷ] Sc. Archedemo.

§. 7. ἔχῃ] Edd. vett. ἔχει, male. nam refertur ad ὅταν.

βούλονται] Pro vitioso βούλωνται ex ed. Leoncl. secunda recepi indicatiuum, quem requirit necessario particula ὥσπερ. Cf. supra ad II, 5, 5.

§. 8. οὐχ ὅτι μόνος] Ernestus iubet deleri ὅτι. Sed seruari debet intellecto λέγω. Cf. Hoogev. de Partic. p. 960, qui laudat ex N. T. Phil. III, 12: IV, 17: Io. XII, 5. Sin haec ellipsis displiceat, muta ὅτι in ἔτι, i. e. *posthac*. Quae emendatio iam viro docto apud Simf. venit in mentem.

αὐτῷ] Correctionem Budaei αὐτῷ merito damnat Stephanus, tanquam inutilem; qui ordinem verborum esse ostendit: *εἰ δέ τις τούτων, οἷς ἀπήχθετο, ὀνειδίζοι αὐτῷ, ὡς* etc.

κολακεύοι] Sic reposui ex emendatione Hindeburgii, Ernesto probante et vsu Xenophonteo suadente, pro κολακεύει, Cf. I, 2, 56. 58. et II, 5, 4. Ita etiam Vatic. 1. Florent. A. C. F. αὐτὸν omisit Vatic. 2.

ἐκ δὲ τούτου] Paris. 3 τούτων.

*CAPUT*